# Storia della Lingua Greca – Laurea Magistrale – 1.10.2012

## Introduzione

γέλως βάραθρον καὶ γέρουσι καὶ νέοις
**(Diogenian. *vulg*. 2,27)**

γέλως, εἰρωνεία, σαρκασμός

***Il.* I 595-600**

ὣς φάτο, μείδησεν δὲ θεὰ λευκώλενος Ἥρη,
μειδήσασα δὲ παιδὸς ἐδέξατο χειρὶ κύπελλον·
αὐτὰρ ὃ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν
οἰνοχόει γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων·
ἄσβεστος δ᾽ ἄρ᾽ ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν
ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνύοντα.

**Ar. *Nu.* 443-451**

ΣΤΡ. εἴπερ τὰ χρέα διαφευξοῦμαι
τοῖς τ᾽ ἀνθρώποις εἶναι δόξω
θρασύς, εὔγλωττος, τολμηρός, ἴτης,
βδελυρός, ψευδῶν συγκολλητής,
εὑρησιεπής, περίτριμμα δικῶν,
κύρβις, κρόταλον, κίναδος, τρύμη,
μάσθλης, εἴρων, γλοιός, ἀλαζών,
κέντρων, μιαρός, στρόφις, ἀργαλέος,
ματιολοιχός.

**Ar. *V.* 174s.**

ΞΑ. οἵαν πρόφασιν καθῆκεν, ὡς εἰρωνικῶς,
ἵν᾽ αὐτὸν ἐκπέμψειας.

**Ar. *Av.* 1208-1211**

ΠΙ. κατὰ ποίας πύλας
εἰσῆλθες εἰς τὸ τεῖχος, ὦ μιαρωτάτη;
ΙΡ. οὐκ οἶδα μὰ Δί᾽ ἔγωγε, κατὰ ποίας πύλας.
ΠΙ. ἤκουσας αὐτῆς οἷον εἰρωνεύεται;

**Ar. *Pax* 481-483**

ΕΡ. οὐδ᾽ οἱ Μεγαρῆς δρῶσ᾽ οὐδέν· ἕλκουσιν δ᾽ ὅμως
γλισχρότατα σαρκάζοντες ὥσπερ κυνίδια –
ΤΡ. ὑπὸ τοῦ γε λιμοῦ νὴ Δί᾽ ἐξολωλότες.

**Ar. *Ra.* 964-967**

ΕΥ. γνώσει δὲ τοὺς τούτου τε κἀμοὺς ἑκατέρου μαθητάς.
τουτουμενὶ Φορμίσιος Μεγαίνετός θ᾽ ὁ Μανῆς,
σαλπιγγολογχυπηνάδαι, σαρκασμοπιτυοκάμπται,
οὑμοὶ δὲ Κλειτοφῶν τε καὶ Θηραμένης ὁ κομψός.